Ἐπιστολὴ Πέτρου ἐπισκόπου Ῥαβέννης ἀντιγραφεῖσα πρὸς Εὐτυχῆ τὸν ἀρχιμανδρίτην.

Τῶι ἀγαπητῶι καὶ ἀξιοτιμήτωι υἱῶι Εὐτυχεῖ Πέτρος ἐπίσκοπος Ῥαβέννης. Στυγνῶς ἀνέγνων τὰς στυγνάς σου ἐπιστολὰς καὶ τὰ γράμματά σου τὰ στυγνὰ τῆι προσηκούσηι λύπηι διέδραμον, ἐπειδὴ ὥσπερ ἡμᾶς ἡ εἰρήνη τῶν ἐκκλησιῶν, ἡ ὁμόνοια τῶν ἱερέων, ἡ γαλήνη τοῦ δήμου χαίρειν ποιεῖ οὐρανίωι χαρᾶι, οὕτως ἡμᾶς καταπονεῖ καὶ καταβάλλει ἡ ἀδελφικὴ διχόνοια, καὶ μάλιστα ὅταν ἐκ τοιούτων ἀναφύηται αἰτιῶν. Τριάκοντα ἔτεσιν οἱ ἀνθρώπινοι νόμοι τὰς ἀνθρωπίνας ἀνατρέπουσι ζητήσεις· ἡ τοῦ Χριστοῦ γέννησις, ἥτις τῶι θείωι νόμωι ἀνεκδιήγητος γέγραπται, μετὰ τοσούτους αἰῶνας διαλογισμῶι ἀπονενοημένωι ἐρευνᾶται. Τί Ὠριγένης ὁ τῶν παλαιῶν ἐρευνητὴς ὑπέμεινεν, ποίωι τρόπωι Νεστόριος ὠλίσθησεν διαλογιζόμενος περὶ φύσεων, οὐ λανθάνει τὴν σὴν σύνεσιν. Οἱ μάγοι τὸν Χριστὸν ἐν σπαργάνοις Θεὸν μυστικοῖς δώροις ὡμολόγουν, καὶ οἱ ἱερεῖς τίς ἐστιν ὁ τῶι παρθενικῶι τοκετῶι ἐκ πνεύματος ἁγίου τεχθείς, ἐπιπόνωι ἐρευνήσει ἐκζητοῦσιν. Ὅτε βοὴν ἐδίδου Χριστὸς ἐν τοῖς σπαργάνοις βρεφικήν, δόξα ἐν ὑψίστοις Θεῶι οὐράνιος ἀνεβόα στρατός, καὶ νῦν ὅτε ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμπτει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, τῆς ἀρχαιογονίας αὐτοῦ ζήτησις κινεῖται. Ἡμεῖς δέ, ἀδελφέ, μετὰ τοῦ ἀποστόλου λέγομεν καὶ εἰ ἐγνώκαμεν Χριστὸν κατὰ σάρκα, ἀλλὰ λοιπὸν νῦν οὐ γινώσκομεν οὔτε δυνάμεθα ἐφύβριστα ἐρευνᾶν, οἵτινες κελευόμεθα τιμὴν διδόναι, φόβον ἀποδιδόναι καὶ ἐκδέχεσθαι, οὐκ ἐρευνᾶν τὸν κριτὴν ὁμολογοῦμεν.

Ταῦτα διὰ βραχέων ἀπεκρινάμην, ἀδελφέ, τοῖς σοῖς γράμμασιν, πλείονα μέλλων γράφειν, εἰ πρὸς ἐμὲ ὁ ἀδελφὸς καὶ συνεπίσκοπος ἡμέτερος Φλαβιανὸς τινὰ περὶ τούτου τοῦ πράγματος γράμματα ἔπεμψεν. Εἰ γάρ σοι ἀπαρέσκει, ὅτιπερ γράφεις, αὐτῶι ἡιρῆσθαι τὴν ἀκρόασιν, ἡμεῖς ποίωι τρόπωι περὶ τούτων δικάσαι δυνάμεθα, οὓς μήτε ὁρῶμεν διὰ τὴν ἀπουσίαν καὶ τί ἐνόησαν, τῆι σιωπῆι αὐτῶν ἀγνοοῦμεν; Δίκαιος μεσίτης οὐκ ἔστιν ὃς ἑνὸς μέρους οὕτως ἀκούει, ὡς ἑτέρωι μέρει μηδὲν φυλάξαι. Ἐπὶ πᾶσιν δὲ προτρεπόμεθά σε, ἀδελφὲ τιμιώτατε, ὥστε τοῖς παρὰ τοῦ μακαριωτάτου πάπα τῆς πόλεως Ῥώμης γραφομένοις πειθαρχούντως προσέχειν, ἐπειδὴ ὁ μακάριος Πέτρος, ὃς ἐν τῆι ἰδίαι καθέδραι

καὶ ζῆι καὶ προκάθηται, δίδωσι τοῖς ζητοῦσι τῆς πίστεως τὴν ἀλήθειαν. Ἡμεῖς γὰρ σπουδῆι τῆς εἰρήνης καὶ τῆς πίστεως ἐκτὸς συναινέσεως τοῦ Ῥώμης ἐπισκόπου πίστεως αἰτίας διαγνῶναι οὐ δυνάμεθα. Ὑγιαίνουσαν τὴν ἀγάπην τὴν σὴν ὁ Δεσπότης χρόνωι μακροτάτωι διαφυλάξαι καταξιώσει, ποθεινότατε καὶ ἀξιοτίμητε υἱέ.